ὄλβιος ὧιτινι θεός
11 μοῖράν τε καλῶν ἔπορεν
σύν τ' ἐπιζήλωι τύχᾱι
13 ἀφˈνεὸν βιοτὰν διάγειν· οὐ
γά⌊ρ τις⌋ ἐπιχθονίων
π⌊άντ⌋α γ' εὐδαίμων ἔφυ.
1 δῦναί π]οτ' ἐρειψιπύλαν
ἄνδρ' ἀνίκ]ạτον λέγουσιν
3 ἔρνος Διὸς] ἀργικεραύ-
col 12 (8) νου δώματα Φερσεφόνας τανισφύρου,
5 καρχαρόδοντα κύν' ἄ-
ξοντ' ἐς φάος ἐξ Ἀΐδα,
7 υἱὸν ἀπˈλάτοι' Ἐχίδˈνας·
ἔνθα δυστάνων βροτῶν
9 ψυχὰς ἐδάη παρὰ Κωκυτοῦ ῥεέθˈροις,
οἷά τε φύλλ' ἄνεμος
11 Ἴδας ἀνὰ μηλοβότους
πρῶνας ἀργηστὰς δονεῖ.
13 ταῖσιν δὲ μετέπˈρεπεν εἴδω-
λον θρασυμέμνονος ἐγ-
χεσπάλου Πορθανίδα·
1 τὸν δ' ὡς ἴδεν Ἀλκμή⟨ν⟩ιος θαυμαστὸς ἥρως
ṭ[ε]ύχεσι λαμπόμενον,
3 νευρὰν ἐπέβασε λιγυκˈλαγγῆ κορώνας,
χαλκεόκˈρανον δ' ἔπειτ' ἐξ